5 Μετὰ μέντοι τὴν ἐργῳδίαν ταύτην ἐπὶ τὴν μετρικὴν χάριν ἔβλεψα, καὶ ἣν πολὺς ῥέων ὡς ἐξ ἀμάρας ὑπερβλυζούσης τῆς γλώττης· καὶ ὅτι οὐκ ὀφρῦς αὐτὰ καὶ φύσημα, ἱκανὸν ἐκ τῆς φήμης εἰς δεῦρο μαρτύριον, ἣν οὐδ᾽ ὁ φθόνος οὕτω πολὺς πνεύσας ἀποσβέσαι ἴσχυσεν. οὐ γὰρ τῷ τριμέτρῳ περιέγραψά μου τὸ φιλόμετρον καί, ὡς οὕτως εἰπεῖν, φιλόρρυθμον, καὶ τούτῳ μονοειδεῖ, τῷ ἀκαταλήκτῳ λέγω καὶ καθαρῷ, πολλῷ τε ὄντι καὶ τοῖς καθ᾽ ἡμᾶς ἐπιχωριάζοντι, ἀλλὰ σμικρὸν ἡγούμενος ἰαμβίζειν μόνον ἤδη καὶ τροχαΐζειν ἐπεβαλόμην, καὶ ἄμφω ταῦτα πάντα καὶ παντοίως, καὶ οὐδὲ τῶν ἄλλων ἠμέλουν, ἵνα καὶ ἡδονή τις ἕποιτο καὶ γλώττης εὐστροφία καὶ ῥύμη νοὸς ὑποφαίνοιτο μὴ τῷ μέτρῳ μόνον, ἀλλὰ καὶ τῇ πολυμετρίᾳ καὶ τῷ πολυειδεῖ ταύτης καὶ ὑπαλλάττοντι. ἐπεὶ δὲ καὶ τὸ νέον ὡς ἐπίπαν φιλόγελων καὶ ἀστεϊσμοῦ καὶ φιλοπαιγμοσύνης ἧττον, καὶ εἰς τὸ κωμικὸν τοῦ λόγου ἐξεκυλίσθην, καὶ μάλισθ᾽ ὅτι καὶ γελωτοποιὰ τὰ τότε δρώμενα ἔτυχεν. οὕτω καὶ Σόλων ἔτι νεάζων ποιήσει ἐδεδώκει μᾶλλον παίζων ἢ σπουδάζων, καὶ εἰς ἡδονὴν πλέον ἤπερ εἰς ὠφέλειαν τὰ μέτρα ἐρρύθμιζε. τέτταρες οὖν μοι πραγματεῖαι εἰς γέλωτα ἐξεχύθησαν· Ὀνοθρίαμβος καὶ προσέτι Στύ⟨π⟩παξ ἢ Παραδεισοπλαστία, ἐπὶ τούτοις οἱ Στεφανῖται καὶ ὁ Ταλαντοῦχος Ἑρμῆς. στιχηρὰ δὲ ἄλλα καὶ οὐ συστηματικά, πολλὰ καὶ ἀνώνυμα ὡς τῶν ἀστέρων οἱ σποράδες.

6 Μέχρι μὲν | οὖν ἐς ἴουλον ἀνθοῦντα καὶ χνοάζουσαν παρειὰν χανδὸν τοῦ 525ᵛ] γέλωτος ἐνεφορούμην, καὶ ἄλλοις ἀνακεραννὺς τὸν παυσίλυπον καὶ λαθικηδῆ τοῦτον κρατῆρα, οἳ μέχρι καὶ εἰσέτι ἀποσπάδας τῆς ἐμῆς κωμικῆς παρακατέχουσι τῷ νῷ καὶ διατηροῦσι τῇ μνήμῃ. ἐπεὶ δ᾽ εἰς τὸν τῆς ἡμετέρας θεοσοφίας λειμῶνα παρακύψας ἑάλων κατάκρας ὡς οἱ γευσάμενοι τοῦ λωτοῦ, καὶ αὐτίκα ἐγενόμην τοῦ πνεύματος, καὶ ʽμακάριοι μὲν οἱ πενθοῦντες, οὐαὶ δὲ οἱ γελῶντεσʼ ἤκουσα, ταχὺ μάλα εἰς ἑαυτὸν ἐπανῄειν, ὡς ἐκ μέθης καὶ κάρου πολλοῦ διανήψας τῷ διυπνίζοντι καὶ διανιστῶντι τῆς χάριτος. ἐντεῦθεν ματαιοσπουδίαν ἑαυτοῦ καταγνούς, καὶ κλάειν οὐ γελᾶν τοὺς ἀπὸ Χριστοῦ προσήκειν μαθών, πυρκαϊὰν ὅτι μεγίστην πολλῷ καὶ καχλάζοντι τῷ τοῦ γέλωτος ὑπανάπτω βρασμῷ καὶ πυρὸς παίγνια τίθημι πάντα, ἵν᾽ ἐκφύγω τὸ τοῖς γελῶσι κληροδοτούμενον, πῦρ ἐκεῖνο τὸ ἄσβεστον. τοῦτο μὲν οὖν τοιοῦτον καὶ πολλοῖς εἰς γνῶσιν ἦλθε τότε, καὶ οὐ πάντες τὸ πρᾶγμα ἐπῄνεσαν· ὑπεῖναι γὰρ πολλὰ καὶ χαρίεντα καὶ Ἀττικῆς εὐστομίας οὐ πόρρω μηδὲ πολυμαθίας ἀπέχοντα καὶ νοημάτων ἑσμοῦ